*καθόλου, καὶ ἢ πρὸς ἄνδρας μόνους ἢ καὶ πρὸς γυναῖκας, καὶ ἢ πρὸς δεσπότας μόνους ἢ καὶ πρὸς δούλους. ἡ μὲν οὖν αὐλητικὴ καὶ πρὸς ἄνδρας γίνεται καὶ πρὸς γυναῖκας, καὶ πρὸς πολλοὺς ἀνθρώπους καὶ πρὸς ἕνα, καὶ πρὸς δούλους καὶ πρὸς ἐλευθέρους. ἡ δὲ δημηγορία πρὸς ἄνδρας μόνους, οὐ γὰρ εὑρίσκονται γυναῖκες ἐν συλλόγῳ, οὐ περὶ μίαν τοίνυν ἐστὶν ψυχὴν τὸ διακρῖναι τὸ ἀγαθὸν ἀπὸ τοῦ ἡδέος ἀλλὰ περὶ πλείονας· φησὶν οὖν ὁ Σωκράτης, ὅτι οὐκ ἔστι τις, ὃς τὸ ἀγαθὸν διώκει ἐν τῇ πόλει, ὁ Καλλικλῆς δὲ λέγει, ὅτι ναὶ γεγόνασιν οἱ τέσσαρες ἐκεῖνοι ἄνδρες, καὶ ὁ μὲν Καλλικλῆς ἄρχεται ἀπαριθμεῖσθαι αὐτοὺς ἀπὸ τοῦ Θεμιστοκλέους πολλὰ δεδωκότος τῇ πόλει καὶ ποιήσαντος τὸ ξύλινον τεῖχος· λήγει δὲ ἐπὶ τὸν Περικλέα ὡς γνώριμον τῷ Σωκράτει. ἐμέμνητο γὰρ ὁ Σωκράτης τοῦ Περικλέους. τὸν μὲν γὰρ Θεμιστοκλέα οὐ κατέλαβεν, τὸν δὲ Περικλέα ναί. ὁ μέντοι Σωκράτης οὐ κέχρηται ταύτῃ τῇ τάξει, ἀλλὰ ἀπὸ Περικλέους ἄρχεται, ἵνα ἀπὸ τῶν κουφοτέρων κολάσεων λήξῃ ἐπὶ τὰς βαρυτέρας· τοῦ μὲν γὰρ Περικλέους κλοπῆς κατηγόρησαν· ἰδοὺ πῶς κούφη ἡ ἔγκλησις· τὸν δὲ Κίμωνα ἐξωστράκισαν, τὸν δὲ Θεμιστοκλέα ἐπεχείρησαν μὲν συλλαβεῖν, ὅτε ᾐτιάσαντο καὶ αὐτὸν οἱ Λακεδαιμόνιοι μηδίζειν μετὰ τοῦ Παυσανίου· μὴ δυνηθέντων δὲ αὐτῶν τοῦτο ποιῆσαι φυγὰς γενόμενος ὁ Θεμιστοκλῆς περὶ τὸν βασιλέα τῶν Περσῶν ἑαυτῷ ἀπεχρήσατο αἵματι ταυρείῳ χρησάμενος. ὅθεν καὶ ὁ κωμικὸς περὶ τούτου φησίν· ὁ Θεμιστοκλέους θάνατος αἱρετώτερος. λήγει δὲ ἐπὶ τὸν Μιλτιάδην ὡς βαρυτέραν ὑπο-*

---

**17** mg. *περὶ τῶν τεσσάρων δημαγωγῶν ἱστορία* **18** mg. *κοινῇ πᾶς ὁ δῆμος ὀστράκοις ἐψηφίζετο καὶ τὸ ἔργον ἐκαλεῖτο ὀστρακοφορία καὶ τὸ πάθος ὀστρακισμός· ἐγίνετο δὲ οὕτως· περισχοινίσαντές τι μέρος τῆς ἀγορᾶς ἔδει φέρειν εἰς τὸν περιορισθέντα τόπον Ἀθηναίων τὸν βουλόμενον ὄστρακον ἐγγεγραμμένον τοὔνομα τοῦ μέλλοντος ἐξοστρακίζεσθαι· ὅτῳ δ' ἑξακισχίλια γένοιτο τὰ ὄστρακα, τοῦτον φεύγειν ἐχρῆν· οὐχ ὡς κατεγνωσμένον ἀλλ' ὡς τῆς πολιτείας βαρύτερον, δι' ἀρετῆς φθόνον μᾶλλον ἢ διὰ κακίας ψόγον* (Philostr. fr. 79 b FHG I 396; Plut. Aristid. 7) **23** mg. ad *ἀπεχρήσατο: ἀπέκτεινεν* **24** mg. *ση. ὅτι ἀναιρεῖ τὸ ταύρειον αἷμα πωθέν*

---

**13** *γνώριμον*] *ώριμον* cum *γ* supra *ω* **M** **20** *ὅτε*] *ὅ* supr. add. **M**